Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή: [illegible]

ΙΛΙΑΔΟΣ Ξ

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
φράζεο δῖε Μαχᾶον ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνηι· καὶ λούσηι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.
ὣς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑοῖο.
κείμενον ἐν κλισίηι Θρασυμήδεος ἱπποδάμοιο.
χαλκῶι παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο·
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῶι.
στῆ δ' ἐκτὸς κλισίης. τάχα δ' εἴσιδεν ἔργον ἀεικές.
τοὺς μὲν ὀρινομένους. τοὺς δὲ κλονέοντας ὄπισθε
Τρῶας ὑπερθύμους. ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν·
ὡς δ' ὅτε πορφύρηι πέλαγος μέγα κύματι κωφῶι.
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα.
αὔτως. οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε·
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον·
ὣς ὁ γέρων ὥρμαινε δαϊζόμενος κατὰ θυμὸν
διχθάδι'· ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων.
ἦε μετ' Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν·
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.
βῆναι ἐπ' Ἀτρείδην. οἱ δ' ἀλλήλους ἐνάριζον
μαρνάμενοι. λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς

πίνοντα: [illegible]

θερμήνηι καὶ λούσηι: [illegible]

χαλκῶι παμφαῖνον: [illegible]

ἐρέριπτο: [illegible]

ϛζ ὡς δ' ὅτε πορφύρηι: [illegible]

δαϊζόμενος: [illegible]

διχθάδι' ἢ μεθ' ὅμιλον: [illegible]

λάκε: [illegible]

+ ἐπὶ πρύμνῃσιν ἔδειμαν: [illegible]

νυσσόμενοι ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
> πὰρ νηῶν ἀνιόντες. ὅσοι βεβλήατο χαλκῷ·
τυδείδης. ὀδυσεύς τε. καὶ ἀτρείδης ἀγαμέμνων·
πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
θῖν' ἔφ' ἁλὸς πολιῆς. τὰς γὰρ πρώτας πεδίον δὲ
εἴρυσαν· αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν. ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν. στείνοντο δὲ λαοί·
> τώ ῥα προκρόσσας ἔρυσαν. καὶ πλῆσαν ἁπάσης
ἠϊόνος στόμα μακρόν. ὅσον συνεέργαθον ἄκραι·
※ τώ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο.
ἀλλ' ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφι
θυμὸς ἐνὶ στήθεσσιν. ὁ δὲ ξύμβλητο γεραιὸς
— νέστωρ. πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν ἀχαιῶν.
τὸν καὶ φωνήσας προσέφη κρείων ἀγαμέμνων·
ὦ νέστορ νηληϊάδη· μέγα κῦδος ἀχαιῶν.
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἱκάνεις.
δείδω. μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος ἕκτωρ,
> ὥς ποτ' ἐπηπείλησεν ἐνὶ τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ ἴλιον ἀπονέεσθαι.
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι. κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε. τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες ἀχαιοὶ
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον ὥς περ ἀχιλλεύς.

[illegible]

ἔγχει ἐρειδόμενοι: [illegible]

νέστωρ πτῆξε δέ: [illegible]

πτῆξε δὲ θυμόν: [illegible]

ὥς ποτ' ἐπηπείλησε: [illegible]

κεῖνος τὼς ἀγόρευε: [illegible]

οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι.
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα νέστωρ·
ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι.
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
νωλεμέως· οὐδ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων
ὁπποτέρωθεν ἀχαιοὶ ὀρινόμενοι κλονέονται,
ὡς ἐπιμὶξ κτείνονται· ἀϋτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν ἀγαμέμνων·
νέστορ, ἐπειδὴ νηυσὶν ἔπι πρύμνῃσι μάχονται,
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ᾗ ἔπι πολλ' ἔπαθον δαναοί, ἔλποντο δὲ θυμῷ
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οὕτω που διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι.
νωνύμνους ἀπολέσθαι ἀπ' ἄργεος ἐνθάδ' ἀχαιούς
ἤδεα μὲν γάρ, ὅτε πρόφρων δαναοῖσιν ἄμυνεν·
οἶδα δὲ νῦν, ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,

νωλεμέως· ὁμηρικὸν ἔθος [illegible] ὁπποτέρωθεν· τὸ τίς προλαμβάνει ἀντὶ τοῦ γνοίης [illegible] γὰρ καὶ μὴ ὑποκειμένου πρὸς ὃ [illegible] ὁ λόγος [illegible] οὐδὲ κε [illegible] ἀντὶ τοῦ [illegible]:- ὡς ἐπιμὶξ· [illegible]:- εἴ τι νόος ῥέξει· τινὲς δὲ γράφουσι νόος δὴ ἔρξει:-
ᾗ ἔπι πολλ'· [illegible] οἷς ἐπὶ καὶ [illegible] ἐπὶ οἷς ἐπὶ [illegible] καὶ τοὶ ἀχ[αιοί]:-
οἶδα δὲ νῦν· οὕτως αἱ ἀριστάρχου· [illegible] ἀκόλουθον τῷ ἤδεα μὲν ὅτε πρόφρων [illegible]:-
κυδάνει· [illegible]:-
νῆες ὅσαι πρῶται· ἡ ὑποστιγμὴ ἀμφίβολος· [illegible] εἰρύαται [illegible] θαλάσσης [illegible] τείχους· οὐ γὰρ ἄγχι τῆς θαλάσσης [illegible]:-

νὺξ ἀβρότη· ὅ. ἡ τοῖς κακοῖς παραδιδοῦσα ... ἀβρότη ... ἢν καὶ τῇ· ... ὁ Ἀγαμέμνων ... ἐπιτρέπει αὐτοῖς φυγεῖν ... εὔνοιαν ... φυγῆς ἀδοξίαν ... [illegible]:—

νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ. — ἐλείπετο ἢ ἁλῶναι
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρεΐδη· ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν (καὶ γεράζειν)
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά.
σίγα· μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο
ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν. (ἐπίσταται)
σκηπτοῦχός τ' εἴη· καί οἱ πειθοίατο λαοί,
τοσσοίδ' ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
※ — νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας οἷον ἔειπες·
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ· οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.

ἀνθέξουσι ... βλέποντες φυγεῖν:

Left-margin notes: λείπει ... περισσὸν ... πάρεστιν ἡ θέσις· ... ὃν οὐκ ἐπερεῖ τις: — ἐπικρατοῦσι

Right-margin notes:

οὐλόμεν' αἴθ' ὤφελες· ὀλέθριε· τινὲς ἀποδεδώκασιν, οὐλόμενε ... οὐ γὰρ ἄλλοι ... Ἀγαμέμνονι ... ὀλέθρου ἄξιε· οὐ δίς ... τοῖς ... ἀλλ' ... περίστασιν ... φέρειν ... τοῦ Ἀγαμέμνονος καὶ τῶν ἄλλων συμμάχων· διὸ καὶ ἐπιφέρει ὅτι ὁ Ζεὺς ... καὶ ἐς γῆρας ... ἀργαλέους:—

※ νῦν δέ σευ ὠνοσάμην· ... εἰ μὴ ... κατὰ ... νῦν δὲ μόνον ... καὶ ... τὸ ποιεῖν ... γράφεται· νῦν δὲ σ' ὠνοσάμην πάγχυ φρένας· καὶ ἀεὶ ... προσθήκη:—

νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας οἷον ἔειπες· τοῖον ἔειπες· ἤτοι καὶ αὐτὸ ... ἵνα ... ὁ λόγος ... λόγος· νῦν δὲ παντελῶς ... οἷον εἴρηκας:—

δέος

ἔνθα κε, σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.
τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν ἀγαμέμνων.
ὦ ὀδυσεῦ· μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα.
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας ἀχαιῶν.
νῦν δ' εἴη. ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι
ἢ νέος. ἠὲ παλαιός. ἐμοὶ δέ κεν, ἀσμένῳ εἴη.
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς διομήδης.
ἐγγὺς ἀνήρ. οὐ δηθὰ ματεύσομεν· αἴ κ' ἐθέλητε
πείθεσθαι. καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος
οὕνεκα δὴ γενεῆφι, νεώτατός εἰμι μεθ' ὑμῖν.
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
τυδέος. ὃν θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει.
πορθεῖ· γὰρ. τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο.
ᾤκεον δ' ἐν πλευρῶνι καὶ αἰπεινῇ καλυδῶνι.
ἄγριος. ἠδὲ μέλας. τρίτατος δ' ἦν ἱππότα οἰνεὺς
πατρὸς ἐμοῖο πατήρ. ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε. πατὴρ δ' ἐμὸς ἄργεϊ νάσθη.
πλαγχθείς. ὣς γάρ που ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
ἀδρήστοιο δ' ἔγημε θυγατρῶν. ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο. ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι. πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς.
πολλὰ δέ οἱ πρόβατ' ἔσκε. κέκαστο δὲ πάντας ἀχαιοὺς
ἐγχείῃ. τὰ δὲ μέλλετ' ἀκουέμεν. εἰ ἐτεόν περ.
τὼ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες.
μῦθον ἀτιμήσαιτε πεφασμένον. ὅν κ' ἐῢ εἴπω.

ἐγγὺς ἀνήρ. ὃ ζητεῖτε νῦν διομήδης συμβουλεύσας [illegible] ῥήτωρ· [illegible]. τὸ μὲν γῆρας ἐν τοῖς [illegible] ἡ δὲ νεότης θαρσαλεωτέρα. ἀλλ' ὁ διομήδης ἐν τῇ προτέρᾳ συμβουλῇ θαυμασθείς. νῦν μᾶλλον τεθάρρηκε καὶ προείρηκεν τῶν πρεσβυτέρων [illegible]:- τυδέος: ὅτι χυτὴ γῆ ἐπὶ τοῖς νεκροῖς ἐπιχεομένη· οὐ καθόλου [illegible] [illegible] θήβῃ [illegible] δὲ οὐ [illegible]:- ἄγριος ἠδὲ μέλας: ὅτι [illegible] οἱ τοῦ ἱππότου ἀποδιδόντες [illegible] ὁ οἰνεὺς κατ' [illegible] τῆς πατρίδος:- ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε: [illegible] οἰνεὺς κατέμεινεν ἐν τῇ πατρίδι. ὁ ἱππότης [illegible] ἀλλ' ἱππικός. καὶ ὁ ἡσίοδος δὲ οὕτως ἀκήκοε· ἱδρῶν δ' ἱππηλάτα κῆρυξ ἀντὶ τοῦ ἱππικός:- πολλὰ δέ οἱ πρόβατ' ἔσκε: πάντα τὰ τετράποδα· διὰ τὸ [illegible] πρὸ τοῦ ὄπισθεν:- ἐγχείῃ· τὰ δὲ μέλλετ'· [illegible] εἰ ἐτεόν περ [illegible] ταῦτα δὲ ὑμᾶς εἰκὸς [illegible] ἀκηκοέναι [illegible] εἰ δὲ δὴ [illegible] εἰ ἐτεόν περ:- καὶ θεοὶ ἄλλοι. [illegible] ὁ διομήδης παρ' [illegible] τυδέα [illegible] ἑαυτοῦ παῖδας [illegible] ἱερεία αὐτῇ. τυδεὺς ὁ οἰνέως [illegible] γένος. [illegible] οἰνεὺς [illegible] ἀποτρέψειν [illegible] ἀδράστου [illegible] θυγατέρα δηϊπύλην [illegible] ἱερεία [illegible]:-

> Δεῦτ' ἴομεν πόλεμόνδε. καὶ οὐτάμενοί περ ἀνάγκη· ταῦτα φησὶν, ἀλλὰ τὸ περ̄ μη. ὅτι δὲ προσμαχεῖν πίστιν ... πέρ. εἶτα τὸ ἀμφίλοιπον... ἐπιφέρει. ... ἀμφίβολον. ... οὐτάμενοι εἴρηκε :- ἐκ βελέων μή πού τις. μὴ πού τις ... ἑκὼν ... ἐκ βελέων :- ἐνήσομεν: τοῖς πολεμίοις. οἱ δὲ ἀνήσομεν. πεισόμεθα ... λαμεῖς ... οὗτος ... τὴν δὲ ἀφορμὴν τῆς ... ἀπὸ τῶν ... ἀληθεῖ :-

> Δεῦτ' ἴομεν πόλεμόνδε. καὶ οὐτάμενοί περ ἀνάγκη·
> ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος
ἐκ βελέων, μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται·
ἄλλους δ' ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῷ ἦρα φέροντες ἀφεστᾶσ' οὐδὲ μάχονται.
Ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
※ οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς ἐννοσίγαιος,
※ ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς,
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρεΐδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
> Ὣς εἰπὼν μέγ' ἄϋσεν ἐπεσσύμενος πεδίοιο.
) Ὣς εἰπὼν μέγ' ἄϋσεν ἐπεσσύμενος πεδίοιο·
ὅσσόν τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος,
τόσσην ἐκ στήθεσφιν ὄπα κρείων ἐνοσίχθων
ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.

Marginal glosses (left): ἐχέσθω ἀπὸ προσοχῆς — ἐζήτει οὐδ' ἀλαὸν σκοπιήν — ἐπὶ πεδίου ἀναπεδίου — ... ἐκπεφόβηνται ...

Marginal gloss (right): ἀλαοσκοπιὴν

ἀλλὰ μετ' αὐτοὺς ἦλθε. ὁ ζη-νόδοτος ὑποτάσσει ἀντιθέοιο φοίνικι ὀπάονι πηλέωνος. οὐ γὰρ νοοῦσι δὲ φοίνικι οἱ ἐπιφθεγγόμενοι λόγοι. ... καθομικώτεροι γέροντι ἀπεικασθῆ :-

σιφλώσειε· τυφλώσειεν ... ποιήσειε. σιφλὸς γὰρ καὶ ὁ τόνος ... οἱ μὲν κακώσειεν. οἱ δὲ μωμητὸν ποιήσειεν. οἱ δὲ ἐλάττονα ποιήσειεν. οἱ δὲ κωλύσειεν. σιφλὸς γὰρ ἐστι τὸ ὅρμημα ... ὅθεν καὶ οἰνόφλυξ. οἱ δὲ σίπαλον. τὸν εἰδεχθῆ :-

σοὶ δ' οὔ πω μάλα πάγχυ. παρέλκει ἐνθάδε τὸ πω. συντακτέον γὰρ τῇ οὐ ἀποφάσει καὶ τῇ μὴ ἀπαρεμφάτῳ ὑποσημειοῦται ... τὸ συντακτέον μετὰ τοῦ σπρᾶγμα, οἷον ... γὰρ ... ἀποφαίνεται. τὸ γὰρ οὐδὲ πω ἀπόφασιν ὑποσημαίνεται ... τὸ δὲ οὔπω δηλοῖ τὸ μέλλον ὑποσημαίνει. ἡρωδιανὸς ἐν ... :-

κονίσουσιν: κονιορτὸς πληρώσουσιν. ἐκ δὲ τοῦ παρακολου-θοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν :-

ὅσσον τ' ἐννεάχιλοι. ἤτοι ... ἀρχῆς τὴν παραβολὴν ἀρμοσθῆναι ἵνα ὑπὸ γόμον ἐστι τὸ ἄρη. ἢ τοῖς ... προσδοτέον. ἵνα τι ζομεν ἐστὶ τὸ ἄρηος. πῶς φησὶν ὁ ποσειδῶν, ὁ εἰκασθεὶς πρεσβύτῃ ὑπὲρ τὴν ἡλικίαν φθέγγεται. καὶ ῥητέον. ὅτι τὴν μὲν ὄψιν πρεσβύτης ἐφαίνετο: τῇ φωνῇ δὲ, τὴν τοῦ θεοῦ δύναμιν ἐνεδείκνυτο :-

τὸν μὲν ποιπνύοντα: [illegible]

πολυπίδακος Ἴδης: [illegible]

Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω·
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
αὐτοκασίγνητον καὶ δαέρα· χαῖρε δὲ θυμῷ.
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη.
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο·
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασαν ἓ αὐτήν·
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ· τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε·
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι·
βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
κληῗδι κρυπτῇ· τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν·
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς·
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν· ἀλείψατο δὲ λίπ' ἐλαίῳ
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ·
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή·
τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη· ἰδὲ χαίτας
πεξαμένη· χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
καλοὺς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο·

ἐλθεῖν εἰς Ἴδην: [illegible]

ᾗ χροιῇ: [illegible]

κληῗδι κρυπτῇ: [illegible]

ἔνθ' ἥ γ' εἰσελθοῦσα: [illegible]

ἀμβροσίῃ μὲν πρῶτον: [illegible]

λύματα πάντα κάθηρεν: [illegible]

ἀμβροσίῳ ἑδανῷ: [illegible]

τοῦ καὶ κινυμένοιο: [illegible]

ἔμπης ἐς γαῖάν τε: [illegible]

τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη: [illegible]

ἔξυσεν: ἐξεπόνησεν· ξύουσι γὰρ τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι. οἱ δὲ ἐξέβαλεν ἀπὸ μεταφορᾶς τῶν ξύλων. οἱ δὲ ἀντὶ τοῦ ἔφαινεν μετὰ τὸ ὑφανθῆναι: χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο: ὁ κατὰ τὸ στῆθος ἐνεπερονᾶτο ὀχεῦσι(?) μέσως κατὰ τὴν κατακλεῖδα τοῦ ὤμου: τρίγληνα μορόεντα ἢ διαφόρως· τρίγληνα τρίκορα ὥστε τριῶν ζῳδίων ἐφ' ἑκατέρῳ δεδημιουργημένων· μορόεντα ἐπεσημασμένα τῇ κατασκευῇ ἀπὸ τοῦ μερῆσαι ὅ ἐστι κακοπαθῆσαι:— τρίγληνα: πολυθέατα ἄξια· τρίκοκκα ἢ τριπρόσωπα· γλήνη γάρ ἡ τοῦ ὀφθαλμοῦ κόρη· τρίκορα ἔχοντα τὰς κόρας τὰς διαφεγγεῖς. ἢ πολλοῦ κόσμου ἄξια· γλήνεα γὰρ τὰ κόσμια ὡς καὶ ἀλλαχοῦ φησ' ὅ γλήνεα πολλὰ ἐκεχάνδει. τρίγληνα δὲ ὡς τρίπυλα· ὃν γὰρ τρόπον παρὰ τὸ πύλη γέγονε τρίπυλον οὕτω καὶ παρὰ τὸ γλήνη τρίγληνον:—

μορόεντα: οὕτως Ἀρίσταρχος ἀπὸ τοῦ μ ποιεῖται τὴν διαστολὴν καὶ ὁ Ἀσκαλωνίτης. καὶ ὁ λόγος ἔχει· τὴν γὰρ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας γινόμενα δηλοῖ παρὰ τὸ δεῖ(?) τὸ ἀπὸ τοῦ α τὴν διάθεσιν ποιουμένους ἱμάτια ἐστὶ ταπεινὸν ὑπὲρ μηδενὸς κατεσκευασμένον(?):—

ὁ ἑανὸς ὁ αὐτὸς τῷ πέπλῳ ὡς καὶ ὅλον πρὸς τὸν πέπλον(?):

ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ ἀθήνη
ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
\> χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο·
ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν· — Ἀρίσταρχος ζώνῃ, ἄλλοι δὲ ζώνην(?)
ἐν δ' ἄρα ἕρματα (ἐνώτια) ἧκεν ἐϋτρήτοισι λοβοῖσι·
\> τρίγληνα (τρίκοκκα) μορόεντα (μετὰ κακοπαθείας εἰργασμένα)· χάρις δ' ἀπελάμπετο πολλή·
κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων
καλῷ νηγατέῳ· λευκὸν δ' ἦν ἠέλιος ὥς· — ἐν ἄλλ. λαμπρὸν δ' ἦν
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον.
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο. καλεσσαμένη δ' ἀφροδίτην·
τῶν ἄλλων ἀπάνευθε θεῶν. πρὸς μῦθον ἔειπεν· — μάλα μὲν τοῖς ἑπτὰ νῦν τοῦ πρὸς Ἀρίσταρχον(?)
ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκος. ὅττι κεν εἴπω.
ἦε κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῷ.
οὕνεκ' ἐγὼ Δαναοῖσι. σὺ δὲ Τρώεσσιν ἀρήγεις.
τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ ἀφροδίτη·
ἥρη· πρέσβα θεά. θύγατερ μεγάλοιο κρόνοιο,
αὔδα ὅ τι φρονέεις. τελέσαι δέ με θυμὸς ἄνωγεν. — ἐν ἄλλ. ἄνωγει:
\> εἰ δύναμαι τελέσαι γε. καὶ εἰ τετελεσμένον ἐστίν.
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια ἥρη·
δὸς νῦν μοι φιλότητα καὶ ἵμερον. ᾧ τε σὺ πάντας — ἐν ἄλλ. δὸς νῦν μοι νῦν(?)
δάμνᾳ ἀθανάτοις. ἠδὲ θνητοῖς ἀνθρώποις. — δαμνᾷς
εἶμι γὰρ ὀψομένη. πολυφόρβου πείρατα γαίης.
ὠκεανόν τε θεῶν γένεσιν. καὶ μητέρα τηθύν.
οἵ με σφοῖσι δόμοισιν ἐΰ τρέφον. ἠδ' ἀτίταλλον. — οὕτως Ἀρίσταρχος· ἄλλοι οἵ μ' ἐν σφοῖσι

εἰ δύναμαί γε τελέσαι γε. ὅτι περιορίζει· ἤγουν εἰ δύναμαι ἐκτελέσαι δυνατόν εἰ καὶ δεῖ· ἢ καὶ αὐτὸ τὸ πρᾶγμα δυνατὸν εἶναι πρακτέον:— θεῶν γένεσιν: θεῶν πρῶτον ἐστὶ πρὸ τοῦ στοιχεῖον τινὲς τῶν φυσικῶν ἢ ποιοῦσι τὸ ὕδωρ καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τὰ τρία. ὅθεν καὶ ὁ Πίνδαρος ἄριστον εἶπε τὸ ὕδωρ. τηθὺν δὲ τὴν γῆν φησὶν οἱονεὶ τιθήνην τινὰ οὖσαν, τροφὸν πάντων:—

† τὰς εἶμ' ὀψομένη· ὅτι νῦν καλῶς λέγονται· ἐν δὲ τοῖς κατὰ πρόσωπον διὰ τὸ μὴ οὐκέτι:– ἐκείνω γ' ἐπέεσσι· κέκρικαν σὺν τῷ ν̄ Ἀρίσταρχος καὶ Ζηνόδοτος. Ἀρίσταρχος δὲ ὁ μὲν ἑλληνικὸς τρόπος φησὶν εἶναι. ἐκείνους παραπείσασα τὴν ψυχὴν ἀλλοτρείαν δὲ καὶ μετὰ τοῦ ν̄. εἰ κείνω τὸ κῆρ πείσασα. οὐ δεῖ δὲ ξενίζεσθαι ἐν ταῖς τῶν προσώπων ἐναλλαγαῖς:– εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι: ὅτι τὸ ὁμωθῆναι οὐκ ἔστιν ὁμοιωθῆναι, ἀλλ' ὁμοῦ γενέσθαι ἐν φιλότητι. διασημαίνεται δὲ τὸ ὁμολογουμένως ἀμφότερα δι' ἀναγραφῶν

δεξάμεναι ῥείης, ὅτε κρόνον εὐρύοπα ζεὺς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης·
※ τὰς εἶμ' ὀψομένη· καί σφ' ἄκριτα νείκεα λύσω·
※ ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
※ εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
※ εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ,
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι.
αἰεί κέ σφι, φίλη τε καὶ αἰδοίη καλεοίμην.
τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς ἀφροδίτη·
οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι.
— ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.
> ἦ. καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον. ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότης. ἐν δ' ἵμερος. ἐν δ' ὀαριστὺς
πάρφασις. ἥ τ' ἔκλεψε, νόον πύκα περ φρονεόντων·
τόν ῥά οἱ ἔμβαλε χερσὶν, ἔπος τ' ἔφατ'. ἔκ τ' ὀνόμαζε·
> τῆ νῦν τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι. ὅ τι φρεσὶ σῇσι μενοινᾷς.
ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια ἥρη·
> μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα διὸς θυγάτηρ ἀφροδίτη·
> ἥρη δ' ἀΐξασα, λίπεν ῥίον οὐλύμποιο·
> πιερίην δ' ἐπιβᾶσα, καὶ ἠμαθίην ἐρατεινὴν,
σεύατ' ἐφ' ἱπποπόλων θρῃκῶν ὄρεα νιφόεντα·

ζηνὸς γὰρ τοῦ ἀρίστου: ἀθετεῖται ὅτι ἐκλύει τὴν χάριν εἰ ἕνεκεν τοῦ διὸς δίδωσι καὶ οὐ κατὰ τῆς προαιρέσεως δὲ καὶ ἀπρεπής:–

> ἦ καὶ ἀπὸ στήθεσφιν· ὅτι κεστὸς ἐκ τοῦ παρεπομένου ὁ ποικίλος ἀπὸ τῶν διὰ τὰς ῥαφὰς κεκεντῆσθαι ἐμπεποικιλμένης τῆς φιλότητος καὶ ἱμέρου καὶ ὀαριστύος. καὶ οὐκ ἔστι κύριον ὄνομα ὡς οἱ νεώτεροι τῶν ἀρχαίων διὸ ζητοῦσι... ἀλλ' ἐπίθετον ἱμάντος:–

ἔνδ' ὀαριστὺς πάρφασις· συναπτέον ἀμφότερα τὰ ὀνόματα. τὴν παραινετικὴν ὁμιλίαν ἀμφότερα δηλοῖ:–

τῆ νῦν τοῦτον ἱμάντα· ὅτι τὸ κατὰ τὸ στῆθος κόλπον μαστῶν πέρας οὖν κόλπον εἶπε καὶ ὅτι τὸ τῆ λαβὲ δηλοῖ:–

ἄπρηκτόν γε νέεσθαι: τοῦτ' ἔστι ποιεῖσθαι οὐ δεῖ ταχέως... περὶ δὲ γενέσθαι ἀντὶ τοῦ γενήσεσθαι ... οὐδὲ γὰρ τὸ πυθέσθαι πυθέσθαι γίνεται. οὐδὲ τὸ λαμβάνεσθαι λαμβάνεσθαι ἵνα καὶ τὸ γενέσθαι γενήσεσθαι γένηται:–

μειδήσασα δ' ἔπειτα· ὅτι ἐν τῇ ... οἰομισαμένη ... ἐκεῖ γὰρ οὐκ ἔστι ἀπρακτ... καὶ ἐν τῷ ὁμοίῳ ζωσαμένη ζεῖνε ὅτι μάλιστα ἐθέλγετο. ὡς σάρκες χαίρειν δὲ κληδόνι δῖος ὀδυσσεύς:–

πιερίην δ' ἐπιβᾶσα· ὅτι μακεδονικὸς ὁ ὄλυμπος θεῶν οἰκητήριον. ἡ γὰρ πιερία τούτου ἀπόκειται, καὶ ἡ ἠμαθία τὸ πρότερον ἡ μακεδονία ἐκαλεῖτο. παράκειται δὲ καὶ ἡ θρᾴκη. ... ἐν τοῦ ἐρμοῦ πιερίην δ' ἐπιβᾶσα ἐξ αἰθέρος ἔμπεσε πόντῳ:– μακεδὼν ὁ διὸς καὶ θυίας κατασχὼν τὴν χώραν οἶσαν τῆς θρᾴκης ἀφ' ἑαυτοῦ προσηγόρευσε, γήμας δὲ μίαν τῶν ἐγχωρίων, τίκτουσι δύο παῖδας πίερον καὶ ἄμαθον, ἀφ' ὧν δύο πόλεις πιερία καὶ ἠμαθία ἐν μακεδονίᾳ. ἡ ἱστορία παρὰ μαρσύᾳ. νῦν δὲ ἠμαθίην καταχρηστικῶς ὅλην μακεδονίαν φασίν. πιερίαν δὲ ὄρος μακεδονίας ἱερὸν μουσῶν:

(marginal notes: ἀντὶ τοῦ ... ἀρίσταρχος οὐ ζητεῖ; ἐν τισὶ τῶν ὑπομνημάτων ... ; ἀρίσταρχος μειδήσασα ... ; ἐν ἄλλῳ ... ; ὄρος ὁ ὄλυμπος ... ; ἐπιρρέει)

ἐξ ἀθόω: ἄθως ὄρος ἐν θρᾴκῃ μέγιστον καὶ ὑψηλὸν ἔχον θάλασσαν τὸν ἰσθμὸν [illegible] χερρόνησον σταδίων δώδεκα· τοῦ ξέρξου στρατεύσαντος ὁ περσῶν βασιλεὺς [illegible] αὐτοῦ διέβαλε [illegible] διακόψας θάλασσαν ἐποίησεν. ἡ ἱστορία παρὰ ἡροδότῳ:- λῆμνον δ' εἰσαφίκανε· διὰ ποίαν αἰτίαν ἐν τῇ λήμνῳ μάλιστα ὁ ὕπνος διατρίβει· [illegible] ὅτι λῆμνος μὲν ἡ νῆσος τοῦ ἡφαίστου· γυνὴ δὲ τοῦ χάριτος. πασιθέας δὲ τῆς χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ ὕπνος ἐκεῖ διατρίβει· [illegible] ἐπαγγέλλεται γυναῖκα δώσειν ἥρα· [illegible] οἱ μὲν φασὶν ἡ λῆμνος [illegible] νῆσος [illegible] παρέστησαν οἱ νομοθέται [illegible] τοὺς μάλιστα ὕπνῳ [illegible]:-

[illegible] ἀκροτάτας κορυφάς. οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα·
λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο θόαντος·
ἔνθ' ὕπνῳ ξύμβλητο, κασιγνήτῳ θανάτοιο.
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
[illegible] πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα·
κοίμησόν μοι ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινὼ
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι·
δῶρα δέ τοι δώσω, καλὸν θρόνον ἄφθιτον αἰεὶ
χρύσεον· ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
τεύξει' ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει·
[illegible] τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
[illegible] τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος ὕπνος·
ἥρη πρέσβα θεά, θύγατερ μεγάλοιο κρόνοιο,
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
ζηνὸς δ' οὐκ ἂν ἔγωγε κρονίονος ἆσσον ἱκοίμην,
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
[illegible] ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ
ἤματι τῷ ὅτε κεῖνος ὑπέρθυμος διὸς υἱὸς
ἔπλεεν ἰλιόθεν, τρώων πόλιν ἐξαλαπάξας.
ἤτοι ἐγὼ μὲν ἔλεξα διὸς νόον αἰγιόχοιο

πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω· ἀντὶ τοῦ ἐγὼ δὲ ἄν σοι εἰδῶ χάριν ἐν δὲ [illegible] ἰδέω [illegible] τὸ ῥῆμα [illegible] ἢ ἐκ περισσοῦ [illegible] τοῦ καὶ ἐγὼ δὲ σοι εἴσομαι χάριν:- κοίμησόν μοι ζηνὸς ὑπ' ὀφρύσι· οὕτως ὑπ' ὀφρύσιν ἡ ἀριστάρχου [illegible] ἀριστοφάνους [illegible] τὰ ὑπὸ τὰς ὀφρύς· [illegible] δύο στίχους [illegible]:- χρύσεον ἥφαιστος δέ κ' ὅτι οὐκ [illegible] κατασκευασθέντα καὶ διὰ [illegible] ἀμαρτύρητα [illegible] γὰρ ἥφαιστος δὲ ἐμὸς παῖς [illegible] ὅσα [illegible] εἰκ[illegible]:- τῷ κεν ἐπισχοίης· οὕτως τὴν γραφὴν παρατίθεται ὁ [illegible] καλὸν [illegible] ἀπὸ τοῦ ἐπισχοῖ [illegible] ἐπισχοίης: ἐπισχοίης: τῷ ἐπισχοίμην [illegible] ἐστι τὸ ἐπισχοίης· τῷ δὲ ἐπισχοίης τὸ ἐπισχοίην [illegible] παρεφθάρη [illegible] τοῦ [illegible] τῷ [illegible] [illegible] ἐπισχοῖ [illegible] ἐπισχοίης [illegible]

[illegible] ἀλέξανδρος ὁ κοτυαεὺς [illegible] τοῖς [illegible]: καὶ ἄλλοτε [illegible]. ἀρίσταρχος [illegible] φησὶ τὴν [illegible] [illegible] τὸ [illegible] παρμενίσκος [illegible] ἐπειρρῆ τὸ [illegible] καὶ [illegible] ἀλεξίων δὲ [illegible] τὴν ἀριστάρχου· φησὶ γὰρ ἀπὸ τοῦ [illegible] καὶ ἡ μὲν [illegible] δοκεῖ προσαρτῆν [illegible] αὐτὸ [illegible] ἀμήχανον [illegible] τοιοῦτον γὰρ λέγει [illegible] ἤδη γάρ με καὶ ἄλλοτε [illegible] [illegible] καὶ ζηνόδοτος [illegible] ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται· [illegible] ὕδατος [illegible] ὑπάρχει· [illegible] ἡσιόδου [illegible] πόντος γεγενῆσθαι τὸ χάος· ὅμηρος φησὶν ὠκεανὸν [illegible] ὅμηρος δὲ [illegible] σοφώτερον· τὸ γὰρ ὕδωρ [illegible] στοιχεῖον [illegible] πίνδαρος ἄριστον αὐτό φησιν:-

καί μιν ἔπειτα Κόωνδ': ἔνιοι διὰ τῶν δύο ωω γράφουσι Κόων. καὶ Καλλίστρατος ἐν τοῖς διορθωτικοῖς· Κόων ἢ ... τὴν Κῶ νῆσον. γράφεται δὲ οὖν ... κατὰ ... Ἡρακλῆς ἀναζεύξας ... μετὰ τὸ πορθῆσαι Τροίαν γενόμενος κατὰ τὸ Αἰγαῖον πέλαγος ... συνεσχέθη χειμῶνι. καταχθεὶς δὲ ... τὴν μεσόπιδα ... νῆσον ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτῆς ... ἀνεῖλε τὸν Εὐρύπυλον ... αὐτοῦ. μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ Θεσσαλὸν ἐγέννησε ἱστορεῖ Φερεκύδης:- ῥιπτάζων κατὰ δῶμα θεούς: ... ἀντὶ τοῦ χαλεπαίνων ... ἀνω καὶ κάτω ῥιπτάζων:· καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ: καὶ ἀνιδὼν ... ἄιστον ... καὶ ἀφανῆ ἐποίησε ... εἰς τὴν θάλασσαν:—

μὴ δῆμος ἀμφιχυθῇσ· σὺ δέ οἱ, κακὰ μήσαο θυμῷ.

ὄρσας ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,

καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας

νόσφι φίλων πάντων. ὁ δ' ἐγρόμενος χαλέπαινε

ῥιπτάζων κατὰ δῶμα θεούς. ἐμὲ δ' ἔξοχα πάντων

ζήτει. καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ.

εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.

τὴν ἱκόμην φεύγων. ὁ δ' ἐπαύσατο χωόμενός περ,

ἅζετο γὰρ, μὴ νυκτὶ θοῇ ἀποθύμια ἕρδοι.

νῦν αὖ, τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.

τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη.

ὕπνε. τί ἢ δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς.

ἢ φῂς. ὡς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν'

ὡς Ἡρακλῆος περιχώσατο παιδὸς ἑοῖο

> ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων

δώσω ὀπυιέμεναι, καὶ σὴν κεκλῆσθαι ἄκοιτιν.

ὣς φάτο, χήρατο δ' ὕπνος. ἀμειβόμενος δὲ προσηύδα·

ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ.

> χειρὶ δὲ, τῇ ἑτέρῃ μὲν, ἕλε χθόνα πουλυβότειραν.

τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες

>: μάρτυροι ὦσ', οἱ ἔνερθε θεοὶ κρόνον ἀμφὶς ἐόντες.

ἦ μὲν ἐμοὶ δώσειν χαρίτων μίαν ὁπλοτεράων

πασιθέην. ἧς αὐτὸς ἐέλδομαι ἤματα πάντα.

ὣς ἔφατ'. οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη.

ὄμνυε δ' ὡς ἐκέλευε. θεοὺς δ' ὀνόμηνεν ἅπαντας

Marginal scholia:

τὸν ἡρακλέα (interlinear, above line 1); ἐπεγρόμενος (interlinear, above "ἐγρόμενος")

οὐ ἐπαύσατο ... δμήτειρα ... καὶ ζη... νύκτα

ἢ φῂς ὅ ... Ἡρακλῆος ... μὴ ... περιχώσατο ... οὐκ ... ἕτερος αὐτοῦ ... πεῖσαι ... ὡς ... μῆνις ... ἰσχύσειεν:-

ἀλλ' ἴθ' ἐγὼ δέ κέ τοι: ὅτι δύο γενεὰς Χαρίτων ὑποτίθεται πρεσβυτέρων καὶ νεωτέρων. διὸ συγκριτικῶς λέγει ὁπλοτεράων:-

χειρὶ δὲ τῇ ἑτέρῃ: ὅτι δύο τοὺς ... χρῆται καταδιαστολὴν ἑλληνικῶς. τὰ ναιόντα δὲ ... ὅμνυσι καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν γῆν καὶ ... :—

μάρτυροι: ὅτι Ζηνόδοτος μάρτυρες γράφει ... μάρτυρ λέγει δὲ ἀκολούθως τῷ μαρτυρεῖ:—

θεοὶ κρόνον ἀμφὶς ἐόντες: οἱ περὶ τὸν κρόνον θεοί. λέγει δὲ τοὺς τιτᾶνας ... οἱ ... παῖδες κρόνου. ... ὑπὸ ... :—

ζηνόδοτος καὶ ἀριστοφάνης ... ἧς αὐτὸς ἐέλδομαι

ἧς ἔστιν ... (interlinear, right margin)

τοὺς ὑποταρταρίους οἳ τιτῆνες καλέονται: ὅ(τι) τοῖς περὶ κρόνον θεοῖς ὑποταρταρίοις προσφορὰ πρὸς τὸ ποτὲ ... ὀλύμπιοι ὅτι οὗτοι οἱ περὶ κρόνον ἀφ' εἰ ὀλύμπιοι:- λεκτὸν ὅθι πρῶτον· οὕτως λεκτὸν ὀξυτόνως ... οὕτως σαφῶς τὸ πρῶτον καλεῖται. ἡ διπλῆ ὅ(τι) ἰδίως ὄρη καὶ ἀντὶ τῆς ἴδης ὅρος λεκτὸν καὶ ἴδην δ' ἵκανε πολυπίδακα γάργαρον. καὶ ἐπὶ τὸ ὁμηρ(ικὸν) ἡ δ' ἄρα κύπρον ἵκανε φιλομμειδὴς ἀφροδίτη ἐς πάφον, ἡ γὰρ κύπρος εἰς πάφον:- λεκτόν: ἀκρωτήριον τῆς ἴδης κειμένης ἀπὸ τῶν αὐτοῦ καταλείμματα διὰ καὶ ἥρα ... τεία δὲ ταῦτα πάντα ἀκρωτήρια τῆς ἴδης λεκτὸν γάργαρον φαλάκρη. ἀφορᾷ δὲ τὸ λεκτὸν εἰς τὸ αἰγαῖον πέλαγος:-

τοὺς ὑποταρταρίους, οἳ τιτῆνες καλέονται.
αὐτὰρ ἐπεὶ ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον.
τὼ βήτην λήμνου τε καὶ ἴμβρου ἄστυ λιπόντε.
ἠέρα ἑσσαμένω. ῥίμφα πρήσσοντε κέλευθον.
ἴδην δ' ἱκέσθην πολυπίδακα μητέρα θηρῶν.
λεκτόν. ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
βήτην. ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.
ἔνθ' ὕπνος μὲν ἔμεινε πάρος διός, ὄσσε ἰδέσθαι.
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν ἴδῃ
μακροτάτη πεφυυῖα, δι' ἠέρος αἰθέρ' ἵκανεν.
ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν.
ὄρνιθι λιγυρῇ ἐναλίγκιος. ἥν τ' ἐν ὄρεσσι
χαλκίδα κικλήσκουσι θεοί· ἄνδρες δὲ κύμινδιν.
ἥρη δὲ κραιπνῶς προσεβήσετο γάργαρον ἄκρον
ἴδης ὑψηλῆς. ἴδε δὲ νεφεληγερέτα ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν.
οἷον, ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι.
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
στῆ δ' αὐτῆς προπάροιθεν ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
ἥρη πῇ μεμαυῖα, κατ' οὐλύμπου τόδ' ἱκάνεις.
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια ἥρη.
ἔρχομαι ὀψομένη, πολυφόρβου πείρατα γαίης.
ὠκεανόν τε, θεῶν γένεσιν. καὶ μητέρα τηθύν.
οἵ με σφοῖσι δόμοισιν ἐΰ τρέφον ἠδ' ἀτίταλλον.

μακροτάτη πεφυυῖα. ἀὴρ ... ὅ(τι) κατώτερος ἀὴρ ὁ ἀπὸ γῆς μέχρι νεφῶν τόπος. ὁ δὲ ὑπὲρ τὰ νέφη τόπος αἰθὴρ καὶ ὅμηρος ... διὸ τὰ νέφη λέγει πλησίον ... ἐναλίγκιοι κατὰ τὴν καθέδραν· ὁ γὰρ ὄρνις οὐ καθέζεται:- χαλκίδα κικλήσκουσι θεοὶ ἄνδρες δὲ κύμινδιν· ὁ κύμινδις ... μέγας χαλκίζων τὴν χροιὰν καὶ μέγεθος ὅσον ἱέραξ ... παράδειγμα ... κύμινδις ... ὑπὸ τὸν ἱέρακα κεῖται:- οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην· ἡ ἥρα τρεφομένη ... ἐπὶ νῆσον σάμον ... ἔτεκεν ... ἡ δὲ προμηθέα

ἐγέννησεν. ζεὺς δὲ ὑπὲρ ἡμᾶς τὴν ἀδελφὴν καὶ γονεῖς τὰ γενόμενα ... κατεταρτάρωσεν. τὸν δὲ προμηθέα προφάσει τοῦ πυρὸς δεσμοῖς ἀνήρτησεν. ἡ ἱστορία παρ' ...:- ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα· δύναται καὶ πλαστικῶς ὁ στίχος ἀναγινώσκεσθαι ... ὑπὸ ... διὰ ... ὑπόκρισιν:-

τοὺς εἶμ' ὀψομένη: [illegible]

ἵπποι δ' ἐν πρυμνωρείῃ: [illegible]

νῦν δὲ σεῦ εἵνεκα: [illegible]

[illegible]

τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
μή πως μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ τέκε Περσῆα πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἣ δὲ Διώνυσον Σεμέλη τέκε χάρμα βροτοῖσιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς,
ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.

οὐ γάρ πώ ποτε μ' ὧδε θ.: [illegible]

οὐδ' ὁπότ' ἠρασάμην: [illegible]

Κοινὸν ἄμφω [illegible]

ἰξιονίης ἀλόχοιο: [illegible]

ῥαδάμανθυν: [illegible]

Ἥρ' ἡρακλῆα κρατερόφρονα: [illegible]

ὡς σέο νῦν ἔραμαι: [illegible]

οὐδ' ὅτε περ δανάης: [illegible]

οὐδ' ὅτε περ σεμέλης: [illegible]

αἰνότατε κρονίδη· ποῖον τὸν μῦθον ἔειπες· [illegible] τὸ κρονίδη προσφορώτατον [illegible] ἁρμόζει [illegible]. ἤτοι γὰρ [illegible] ποῖον τὸν μῦθον ἔειπες· εἰ τὰ [illegible] εἰ νῦν ἐν φιλότητι [illegible] ὑποτάσσομεν κορυφῆσι καὶ ἅπαντα· [illegible] εἴ τις νῶϊ θεῶν αἰειγενετάων [illegible] ἀθρήσειε πεφράδοι [illegible] οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα [illegible] ἀνταποδοτικὸν [illegible] τοιαῦτα [illegible] πῶς ἂν ἐν [illegible] εἴ τις ἴδοι τῶν θεῶν [illegible] εἴποι οὐκ ἂν ἐλθοίμι [illegible] αὐτὰ [illegible] ποῖον τὸν μῦθον ἔειπες· εἰ νῦν ἐν φιλότητι λιλαίεαι· [illegible] ἐν κορυφῆσι

[illegible] εἰ καὶ [illegible] τῶν θεῶν· πῶς κ' ἔοι· πῶς ἂν τοῦτο ἐν [illegible] εἴ τις νῶϊ θεῶν [illegible] πεφράδοι· εἶτα [illegible] οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην·—

τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια ἥρη·
αἰνότατε κρονίδη· ποῖον τὸν μῦθον ἔειπες·
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
ἴδης ἐν κορυφῆσι· τάδε προπέφανται ἅπαντα·
πῶς κ' ἔοι· εἴ τις νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε· θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι· οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην
ἐξ εὐνῆς ἀνστᾶσα· νεμεσσητὸν δέ κεν εἴη·
ἀλλ' εἰ δή ῥ' ἐθέλεις· καί τοι φίλον ἔπλετο θυμῷ·
ἔστι τοι θάλαμος· τόν τοι φίλος υἱὸς ἔτευξεν
ἥφαιστος· πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε·
ἔνθ' ἴομεν κείοντες· ἐπεί νύ τοι εὔαδεν εὐνή·
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα ζεύς·
ἥρη· μήτε θεὸν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ· (βλέπειν)
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι·
ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε κρόνου παῖς ἣν παράκοιτιν·
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην·
λωτόν θ' ἑρσήεντα· ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν· ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε·
τῷ ἔνι λεξάσθην· ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι·
ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ γαργάρῳ ἄκρῳ·
ὕπνῳ καὶ φιλότητι δαμείς· ἔχε δ' ἀγκὰς ἄκοιτιν·

ἔστιν τοι θάλαμος· ὅτι εἰ δὴ καὶ ἦν καθὸ μὴν ὁ ἥφαιστος [illegible] ἥφαιστος [illegible] ἐκ μόνης ἥρας:—

ἐν ἀδὲ νεν εὐνή· [illegible]

(ἀριστοφάνης ἐπειγόντες)

λεξάσθην ἔερσαι

(οὐ φέρει [illegible])

λωτὸν· εἶδος χόρτου [illegible]

πυκνὸν καὶ μαλακὸν ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε· [illegible] ὑψόσ' ἔεργε [illegible] ὑψόσ' ἔεργε

[illegible] ὑψόσ' [illegible] πυκνὸν καὶ μαλακὸν [illegible] ἀπὸ χθονὸς [illegible]: στιλπναὶ δ' ἀπέπιπτον [illegible] ἰσχυρός. [illegible] πυκνὸν [illegible] τὸ γὰρ [illegible] ἔερσαι· [illegible] ἔερσαι [illegible] καὶ γὰρ τὸ [illegible] ἔρση [illegible] οὕτως [illegible] ἔερσα [illegible] οὐ γὰρ [illegible] ὅτι τὸ [illegible] ἔερσαι [illegible] ἀπὸ [illegible] τοῦ ἔρσα [illegible]:—

βῆ δὲ θέειν ἐπὶ νῆας ἀχαιῶν νήδυμος ὕπνος.
ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ·
ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα·
πρόφρων νῦν δαναοῖσι ποσείδαον ἐπάμυνε.
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα.
ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
ὣς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων.
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι δαναοῖσι·
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
ἀργεῖοι· καὶ δ' αὖτε μεθείομεν ἕκτορι νίκην
πριαμίδῃ, ἵνα νῆας ἕλῃ, καὶ κῦδος ἄρηται.
ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔτι λίην ποθὴ ἔσσεται· εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναιθῆσι κορύθεσσι
κρύψαντες· χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι· οὐδ' ἔτι φημὶ
ἕκτορα πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·

ἀργεῖοι καὶ δ' αὖτε μεθείομεν ἕκτορι νίκην: ταῦτα ἐξ ἐρωτήσεως κατ' ἐπερώτησιν ἀναγνωστέον:· ἀλλ' ὁ μὲν οὕτω φησί: ὁ ζηνόδοτος γράφει [illegible] ἁρμόζει δὲ τῷ προσώπῳ τὸ εὔχεται καυχᾶται:· παναίθησιν: τὸ παναίθησι οἱ πλείους προπερισπῶσιν [illegible] [illegible]

ὃς δέ κ' ἀνὴρ μενέχαρμος: ὅτι ἐκ τοῦ ἑξῆς ἀθετοῦνται [illegible] [illegible] [illegible] ὀλιγον σάκος: μικρὰν ἀσπίδα [illegible] [illegible]:·

τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ·
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων·
οἰχόμενοι δ' ἐπὶ πάντας ἀρήϊα τεύχε' ἄμειβον·
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων·
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
δὴ ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο
οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
οὔτ' ἄνεμος τόσσον γε περὶ δρυσὶν ὑψικόμοισιν
ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ' ἀφάμαρτε

ἐσθλὰ μὲν ἐσθλός· ὅτι οὗτος ὁ στίχος τοῖς προκειμένοις ἀμαρτεῖ· ... τῇ κατασκευῇ ... Ζηνοδότου ... τῶν ὑπομνημάτων ... ἀντὶ τοῦ δόσκεν καὶ ἔστιν εὐφραδέστερον.

ἐν δαῒ λευγαλέῃ· ἀσκαλωνίτης ... οἱ δὲ πλείους ... ὀξύνοντες ... ἡ εὐθεῖα ... ὁ ἀσκαλωνίτης δαΐς ὡς θῆς ... καὶ ... ἐκ τῆς ... ἐναντίους ... παραλαμβανόμενα· οὐ φιλεῖ ... ὀξύνεσθαι· ὁ δὲ λόγος ἐπὶ τῶν ἑλληνικῶν ... παρ' Ἡροδότῳ· οἷον ... δαΐς ... χωρὶς εἰ μή ... τοῦ ὀξυνομένου ... τὸ ἐκ ... ὅτι εἰ ... δαΐς ... ὀξυνομένης ... τοῖς συνεσταλμένον ... καὶ ... ἐκ τῶν ὀνομάτων ἀρσενικῶν καὶ θηλυκῶν ὀξύνεσθαι ... αὕτη καὶ ... ἡ δαΐς ... ὀξύτονα ...

ὅτι βαρύνεται καὶ ἐνθάδε δαΐς. διδασκόμεθα ἐκ τῆς παρακειμένης αἰτιατικῆς ... ἡ γὰρ τοιαύτη αἰτιατικὴ ... ἐνθάδε καὶ τὸ δαΐς ... τραπέντος ... πλεονάσαντος ...

οὔτε θαλάσσης κῦμα τόσον· ὁ Ζηνόδοτος ... τὸν πρῶτον ... τὸν δὲ ... πάντων δὲ ... φορᾷ ... θάλασσαν καὶ πῦρ.

οὔτε πυρὸς τόσσος γε· Ἀρίσταρχος φυλάσσει ... ἐστὶ τῆς συλλαβῆς. ὁ δὲ Τυραννίων τὸ τόσσος γε ἀμφιβάλλει ... οὐκ εὖ. ὁ γὰρ γε οὐ καταβιβάζει τὸν τόνον τῶν προ αὐτοῦ λέξεων ... ἔκτασιν εἶναι ... ἴσως ὅτι τὸ ... πρὸς τὸ ... ἐπέκτασις ... ὁμοίως.

βρόμος· κυρίως ὁ τοῦ πυρὸς ἦχος ... καὶ τὸν ... ὀνοματοποιοῦσι ... καὶ αὐτὸν ... τοῦ πυρὸς ... οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλασαν ὅτι ... καὶ ... ὅτι πυρογενής ἐστιν.

ὅσση ἄρα Τρώων· ἀφ' ἑτέρας ἀρχῆς ταῦτα. Ἀρίσταρχος δὲ χωρὶς τοῦ ... γράφων ὅσση ἄρα Τρώων ... ὁ λόγος ... ἀπὸ κοινοῦ ... τὰ εἰρημένα· ὅσση ἡ τῶν Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή.

ἤτοι ὁ μὲν σάκεος· ὅτι καὶ τὰ ξίφη καὶ τὰς ἀσπίδας ἐκ τελαμώνων ἀνῆπτον· διὸ δύο· καὶ ὅτι οὐ κατὰ πρῶτος ὁ Αἴας κατὰ μέρος· εἰ γὰρ μὴ οἱ τελαμῶνες ἐκώλυσαν [illegible] :— τώ οἱ ῥυσάσθην· ὅτι χώσατο μὲν [illegible]

τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην.
ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου.
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ' Ἕκτωρ.
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός.
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας.
χερμαδίῳ. τά ῥα πολλὰ θοάων ἔχματα νηῶν
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο. τῶν ἓν ἀείρας.
στῆθος βεβλήκει. ὑπὲρ ἄντυγος. ἀγχόθι δειρῆς.
στρόμβον δ' ὣς ἔσσευε βαλών. περὶ δ' ἔδραμε πάντῃ.
ὡς δ' ὅθ' ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
πρόρριζος. δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆς. τὸν δ' οὔ περ ἔχει θράσος ὅς κεν ἴδηται
ἐγγὺς ἐών. χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός.
ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι.
χειρὸς δ' ἔκβαλεν ἔγχος. ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν
ἐλπόμενοι ἐρύεσθαι. ἀκόντιζον δὲ θαμειὰς
αἰχμάς. ἀλλ' οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι. οὐδὲ βαλεῖν. πρὶν γὰρ περίβησαν ἄριστοι.
Πουλυδάμας καὶ Αἰνείας. καὶ δῖος Ἀγήνωρ.
Σαρπηδών τ' ἀρχὸς Λυκίων. καὶ Γλαῦκος ἀμύμων.
τῶν δ' ἄλλων οὔ τίς εὑ ἀκήδεσεν. ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους. σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου. ὄφρ' ἵκεθ' ἵππους

καὶ κόρυς. ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.

στῆθος βεβλήκει· οὕτως ἔξω τοῦ ν βεβλήκειν καὶ ἀρίσταρχος· ζηνόδοτος καὶ ἀριστοφάνης σὺν τῷ ν βεβλήκειν :—
στρόμβον ὥς· στρόμβον περιφερῆ. λέγει δὲ τὸν καλούμενον [illegible]· δίκην στρόμβου ἐποίησεν αὐτὸν στρέφεσθαι σφοδρῶς πλήξας :—
ἐξ αὐτῆς τὸν δ' οὔ περ ἔχει· ὅτι τὸ ἀντικείμενον δεῖ ὑπακούειν, [illegible]· ἀριστοφάνης δέ· τὸν δ' οὔ τιν' ἔχει θράσος ὅστις ἴδηται :—
ὣς ἔπεσ' Ἕκτορος ὦκα· ὅτι ὦκυ γράφεται [illegible] ἀντὶ τοῦ ὠκέως [illegible] :—
οἱ δὲ μέγα ἰάχοντες· ὅτι τὸ ἰάχοντες [illegible] :—
ἀσπὶς ἑάφθη· [illegible] αὐτῷ ἡ ἀσπὶς [illegible] τὸ δὲ ἑάφθη ἀπὸ τοῦ [illegible] :—
οὐτάσαι οὐδὲ βαλεῖν· ἡ διπλῆ ὅτι διαστέλλει τὸ οὐτάσαι καὶ βαλεῖν :—
τῶν δ' ἄλλων· ζηνόδοτος διὰ τοῦ τ [illegible] ἀρίσταρχου ἀκήδεσεν· ἀκηδέσατο, ἀκήδεστος ἔσχον.

οὕτως ἀρίσταρχος βεβλήκει
[illegible]
ἀρίσταρχος ὦκυ
ἐν ἄλλῳ περίβησαν ἅπαντες

ὠκέας. οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν. ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἵ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
ξάνθου δινήεντος. ὃν ἀθάνατος τέκετο ζεύς·
ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονί. κὰδ δέ οἱ ὕδωρ
χεῦαν. ὁ δ' ἀμπνύνθη. καὶ ἀνέδρακεν ὀφθαλμοῖσι·
ἑζόμενος δ' ἐπὶ γοῦνα. κελαινεφὲς αἷμ' ἀπέμεσσε·
αὖτις δ' ἐξοπίσω πλῆτο χθονί. τὼ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα. βέλος δ' ἔτι θυμὸν ἐδάμνα·
ἀργεῖοι δ' ὡς οὖν ἴδον ἕκτορα νόσφιν ἐόντα.
μᾶλλον ἐπὶ τρώεσσι θόρον. μνήσαντο δὲ χάρμης·
ἔνθα πολὺ πρώτιστος ὀϊλῆος ταχὺς αἴας
σάτνιον οὔτασε δουρὶ μετάλμενος ἠνοπίδην.
ὃν ἄρα νύμφη τέκε νηῒς ἀμύμων
ἤνοπι βουκολέοντι παρ' ὄχθας σατνιόεντος·
τὸν μὲν ὀϊλιάδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
οὔτασε κατὰ λαπάρην. ὁ δ' ἀνετράπετ'· ἀμφὶ δ' ἄρ' αὐτῷ
τρῶες καὶ δαναοὶ σύναγον κρατερὴν ὑσμίνην·
τῷ δ' ἐπὶ πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
πανθοΐδης. βάλε δὲ προθοήνορα δεξιὸν ὦμον.
υἱὸν ἀρηϊλύκοιο. δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν. ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ·
πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο. μακρὸν ἀΰσας·
οὐ μὰν αὖτ' ὀΐω μεγαθύμου πανθοΐδαο

ΞΑΝΘΟΥ ΔΙΝΗΕΝΤΟΣ· ὅτι μὲν προσηγόρευσας ὁ σκάμανδρος ξάνθος καλεῖται ὡς προειδότας κεχρῆσθαι τῷ ὀνόματι. ἰδίως δὲ τὸν μὲν ὀνοματικὸν ξάνθον διὸς γενεαλογεῖ· τὸν δὲ ποταμὸν ὠκεανοῦ λέγων ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν:— ἙΖΟΜΕΝΟΣ Δ' ΕΠΙ ΓΟΥΝΑ· διχῶς κατ' ἀρίσταρχον καὶ αἱ πλείους ἀπέμεσσεν· ζηνόδοτος δὲ ἐστὶν κατ' οὖδας ἀπέμεσσεν· τραχὺ δὲ διὰ τὸ μετὰ τὸ γοῦνα ἐπὶ τὸ μὴ καθίσας κτλ· γελοῖοι δὲ οἱ τοῖς ἑξῆς συνάπτοντες ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσεν ἵν' ᾖ ἐπὶ τὰ γόνατα κάθηται· γελοῖοι δὲ οἱ τοῖς φαινομένοις μαχόμενοι· σύνηθες γὰρ οὕτω λέγειν:—

χειρὸς ἀπὸ στιβαρῆς· ἅλιον· πηδῆσαι ἄκοντα·
ἀλλά τις ἀργείων κόμισε χροΐ· καί μιν ὀΐω
αὐτῷ σκηπτόμενον· κατίμεν δόμον ἄϊδος εἴσω·
ὣς ἔφατ'· ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο
αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
τῷ τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα·
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ·
πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀΐξας· κόμισεν δ' ἀντήνορος υἱὸς
ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον·
τὸν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ
νείατον ἀστράγαλον· ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
τοῦ δὲ πολὺ προτέρη κεφαλή· στόμα τε ῥῖνές τε
οὔδει πλῆντ'· ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος·
αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι πουλυδάμαντι·
φράζεο πουλυδάμα· καί μοι νημερτὲς ἐνίσπες·
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ προθοήνορος ἀντὶ πεφάσθαι·
ἄξιος· οὐ μέν μοι κακὸς εἴδεται· οὐδὲ κακῶν ἔξ·
ἀλλὰ κασίγνητος ἀντήνορος ἱπποδάμοιο
ἢ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει· ἐοίκει
ἦ ῥ' εὖ γιγνώσκων· τρῶας δ' ἄχος ἔλλαβε θυμόν·
ἔνθ' ἀκάμας πρόμαχον βοιώτιον οὔτασε δουρὶ
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ' ὕφελκε ποδοῖιν
τῷ δ' ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
ἀργεῖοι ἰόμωροι· ἀπειλάων ἀκόρητοι

οὐ κόμισε χροΐ· ἤ

λικριφὶς ἀΐξας· ὅτι δυσὶ κέχρηται τῇ λέξει, μιᾷ καὶ ἐν ὀδυσσείᾳ, σημαίνει δὲ πλαγίως ὁρμήσας. ἀπὸ τοῦ λεχρίου κατὰ κοινωνίαν τῶν συμφώνων:-
λικριφὶς· ἀρίσταρχος ὀξύνει ὁμοίως τοῖς ἄλλοις τοῖς εἰς φις ἐπιρρήμασιν, καὶ οὕτως ἐπεκράτησεν ἡ ἀνάγνωσις:-
ἐν συνεοχμῷ· ἐν τῇ συναφῇ τοῦ κιονίου ἐν τῷ σφονδύλῳ ἀστράγαλον λέγει τὸν σφόνδυλον τὸν ἐν τῷ κιονίῳ. εἴρηται δὲ ἀστράγαλος κατ' ἀντίφρασιν· πολύστρεπτος γὰρ ὑπάρχει:-

ἡ κεφαλὴ προέλαβε τὰ κάτω πίπτοντα:-
ζηνόδοτος ἀμύμονα πουλυδάμαντι
ἴσως λείπει τὸ δοκεῖ σοι.
ἀριστοφάνης αὐτῷ γὰρ ῥα φυὴν ἄγχιστα ἐοίκειν:
πρὸς τὸ ὃς χρύσην ἀμφιβέβηκας ὅτι ἐστὶν ὑπερμαχεῖς:

οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζὺς
ἡμῖν. ἀλλά ποτε ὧδε κατακτανέεσθαι καὶ ὔμμες·
φράζεσθ' ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῷ· ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν ἄτιτος ἔῃ. τῷ καί κέ τις εὔχεται ἀνὴρ
γνωτὸν ἐνὶ μεγάροισ' ἀρῆς ἀλκτῆρα λιπέσθαι.
ὣς ἔφατ'. Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Πηνελέῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν.
ὁρμήθη δ' Ἀκάμαντος. ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέωο ἄνακτος. ὁ δ' οὔτασεν Ἰλιονῆα·
υἱὸν Φόρβαντος πολυμήλου. τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει. καὶ κτῆσιν ὄπασσε·
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα·
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα. κατ' ὀφθαλμοῖο θέμεθλα·
ἐκ δ' ὦσε γλήνην. δόρυ δ' ὀφθαλμοῖο διαπρὸ
καὶ διὰ ἰνίου ἦλθεν. ὁ δ' ἕζετο χεῖρε πετάσσας
ἄμφω. Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ.
αὐχένα μέσσον ἔλασσεν. ἀπήραξεν δὲ χαμᾶζε
αὐτῇ σὺν πήληκι κάρη. ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ. ὁ δὲ φὴ κώδειαν ἀνασχὼν.
πέφραδέ τε Τρώεσσι. καὶ εὐχόμενος ἔπος ηὔδα·
εἰπέμεναί μοι Τρῶες ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν.
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο.
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται. ὁππότε κεν δὴ

ἐν ἄλλῳ ἔγχει ἐμῷ μή τοι τι:

γνωτὸν ἐνὶ μεγάροις. ὅτι ἀντὶ πέφραδε τὸν γνωτὸν τοῦ κασιγνήτοιο· ἀδελφὸς ἐστὶ γὰρ ἀδελφός. ζηνόδοτος δὲ ἐνὶ μεγάροισιν ἄρης. ὡς ἐκεῖ ἐμοῖο δὲ δὴ σεῦ ἄρηος:-

ὁ δὲ φὴ κώδειαν: ὁ μὲν ζηνόδοτος καὶ τὸν δὲ καὶ τὸ φὴ ἀθετεῖ. ἵνα τὸ φὴ ταυτὸν ὑπάρχῃ. τὸ ὡς καὶ τὸ μεταλαμβανόμενον τοιοῦτον ἦν. ὁ δὲ ὡς κώδειαν. ἀνασχὼν πέφραδέ τε Τρώεσσιν. ὁ δὲ ἀρίσταρχος ἐκδεξάμενος τὸ φὴ ῥῆμα ὁμοίως τῷ ἔφη, δοκεῖ ἀθετεῖν τὸν δεύτερον στίχον ὅπερ οὐ καθολικόν· ποιητικὸν γὰρ ἔθος τὸ πολλάκις τὸ αὐτὸ ὄνομα λαμβάνεσθαι. προσδέχεται ὁ ζηνόδοτον ὡς ἀποφαίνεται ἐκεῖνο ὅτι ὁ ποιητὴς οὐ δέχεται. οἱ δὲ τὸ φὴ ἀντὶ τοῦ ὡς οἱ δὲ μεταυτὸν ἀπὸ πρώτου ἀντίμαχος καὶ ὁ πειθόμαχος.

μήκωνος. φαντάζεται δὲ ἡ ἀκωκὴ τοῦ δόρατος ἐμπεπαρμένη κεφαλῇ ἐπὶ καὶ κώδειαν. ἐπεὶ γὰρ συναπτομένη ἐπὶ τὴν ἀπεκδοχὴν ἐκφαινομένη καθὼς τὸ φὴ ἀντὶ τοῦ ὡς κεῖται:- φὴ ῥῆμα ἐκδέχεται. καὶ ἀθετεῖ τὸν ἑξῆς. δύναται δὲ καὶ διττολογία εἶναι ὡς τοτοῖσι δὲ καὶ μετὰ τὸν φρήσατο καὶ ἔπος ἔφατ' ἐκεῖ ὀνόμαζεν ἢ τὸ πέφραδε διασημαίνων:-

κώδειαν ἐστὶν ἡ κεφαλὴ τῆς σικύου δὲ ἐπὶ τὸ ἀνασχών. ὁ δὲ φὴ κώδειαν ἀρίσταρχος τὸ γέρον κάρα ὡς ὁ σφὴν εὔφρονε

πέφραδέ τε Τρώεσσι. ὅ. ἀγνοοῦντες τινὲς φὴ κώδειαν ὑφ' ἓν ἦν ἢ ὡς κώδειαν, προσέταξαν τὸ μηθὲν ὄμνον οὐ δέχεται δὲ ὁ τὸ φὴ ἀντὶ τοῦ ὡς ἀγαθὸν ἰσοῦν δὲ καὶ ἀντίμαχος ἐκεῖθεν ἐκδεχόμενον φὴ γέρον οἶσιν εἶπον. δεῖ δὲ ἔξωθεν προσλαμβάνειν τὸ ὡς. καὶ ἀθετεῖν τὸν στίχον ταυτολογίαν γὰρ περιέχει:-

ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν·
ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα·
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον·
ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ᾽ ἔχουσαι·
> ὅς τις δὴ πρῶτος βροτόεντ᾽ ἀνδράγρι᾽ Ἀχαιῶν
ἤρατ᾽, ἐπεί ῥ᾽ ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος·
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ᾽ Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ᾽ ἐνήρατο καὶ Περιφήτην·
> Ἀτρεΐδης δ᾽ ἄρ᾽ ἔπειθ᾽ Ὑπερήνορα ποιμένα λαῶν
οὖτα κατὰ λαπάρην, διὰ δ᾽ ἔντερα χαλκὸς ἄφυσσε
> δῃώσας· ψυχὴ δὲ κατ᾽ οὐταμένην ὠτειλὴν
ἔσσυτ᾽ ἐπειγομένη· τὸν δὲ σκότος ὄσσε κάλυψε·
πλείστους δ᾽ Αἴας εἷλεν Ὀϊλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ:—

Ξ

παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ τῆς Ὁμηρικῆς στιγμῆς:—

ὅς τις δὴ πρῶτον. ὅτι νῦν καὶ ἐνθάδε ἅπαξ εἴρηκεν ἀνδράγρια· τινὲς δὲ ἀθετοῦσι διὰ τὸ ξένον τῆς λέξεως καὶ μηκέτι μέτρον ἀλλαχοῦ. ἤτοι δὲ τὰ σκῦλα τὰ ὑπὸ ἀνδρῶν ἀγρευόμενα, ἢ ἀντὶ ἀνδρῶν· οὕτω γὰρ μὴ δύνη θᾶσσον ἀμελεῖν, ἀλλ᾽ οἷον τὸν ἀναιρεθέντα σκυλεύσειν: ἀνδράγρια· ὡς ἀνταξία· καὶ γὰρ σιωπηθὲν αὐτοῖς τὸ τοιοῦτον εἶδος· καὶ γὰρ ζωάγρια εἶπε καὶ κο- ἄγρια, καὶ μοιχάγρια:—

Ἀτρεΐδης δ᾽ ἄρ᾽ ἔπειθ᾽ Ὑπερήνορα. ὅτι οὗτος ἴσως ἐστὶν Ὑπερήνωρ οὗ μέμνηται κατὰ τὴν πρὸς Εὔφορβον στάσιν Μενέλαος· οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο ἧς ἥβης ἀπόνηθ᾽ ὅτε μ᾽ ὤνατο· ἀλλὰ μὴν τοῦ τούτων λόγον οὐ μέμνηται καθ᾽ ὅ ... ἐκ φθερτοῖς ἀνῃρημένοις:—

[marginal notes between columns, partly illegible: τοὺς ἅπαντας τοὺς ἐχθροὺς ... ; οὗτος ... παρὰ ... ὁ ... τῶν Τρώων ...]

οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν: τὸ μὲν ὁμοῖος ὡς ἀλλοῖος ἀναγνωστέον· τὸ γὰρ προπαροξύνειν μεταγενέστερον Ἀττικῶν. τὸ δὲ ἐπισπέσθαι παροξυντέον, ὁμοίως τῷ ἀποσπέσθαι· ἔστι γὰρ τὸ ἁπλοῦν σπέσθαι· προφέρηται δὲ ... ἀπαρέμφατον:— ἀνδρῶν τρεσσάντων. ὅτι οὐ λέγει τρεσσάντων διὰ ... τῶν ἀποφυγόντων· τρέσσαι δὲ οὐκέτι ἐμφαίνει φόβον:—

οὐ κρονίδης κεχόλωτο ποσειδάωνι καὶ ἥρῃ·

[illegible]

ΙΛΙΑΔΟΣ Ο

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες· πολλοὶ δὲ δάμεν δαναῶν ὑπὸ χερσίν·
οἳ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες
χλωροὶ ὑπαὶ δείους· πεφοβημένοι· ἔγρετο δὲ ζεὺς
ἴδης ἐν κορυφῇσι· παρὰ χρυσοθρόνου ἥρης·
στῆ δ' ἄρ' ἀναΐξας· ἴδε δὲ τρῶας καὶ ἀχαιούς·
τοὺς μὲν ὀρινομένους· τοὺς δὲ κλονέοντας ὄπισθεν·
ἀργείους· μετὰ δέ σφι ποσειδάωνα ἄνακτα·
ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
εἵαθ'· ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι· κῆρ ἀπινύσσων·
αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' ἀχαιῶν·
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
δεινὰ δ' ὑπόδρα ἰδὼν ἥρην πρὸς μῦθον ἔειπεν·
ἦ μάλα δὴ κακότεχνος ἀμήχανε· σὸς δόλος ἥρη
ἕκτορα δῖον ἔπαυσε μάχης· ἐφόβησε δὲ λαούς·
οὐ μὰν οἶδ' εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
πρώτη ἐπαύρηαι· καί σε πληγῇσιν ἱμάσσω·
ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω· περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄρρηκτον· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν ὄλυμπον·
λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ· ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει
ἀζηχὴς ὀδύνη ἡρακλῆος θείοιο·

[illegible]